βασιλεὺς τοῦ ἀγροῦ εἰργασμένου.
9 Ἀγαπῶν ἀργύριον οὐ πλησθήσεται ἀργυρίου·
καὶ τίς ἠγάπησεν ἐν πλήθει αὐτῶν γένημα;
καί γε τοῦτο ματαιότης.
10 ἐν πλήθει τῆς ἀγαθωσύνης ἐπληθύνθησαν ἔσθοντες αὐτήν·
καὶ τί ἀνδρεία τῷ παρ᾽ αὐτῆς
ὅτι ἀλλ᾽ ἢ τοῦ ὁρᾶν ὀφθαλμοῖς αὐτοῦ;
11 γλυκὺς ὕπνος τοῦ δούλου,
εἰ ὀλίγον καὶ εἰ πολὺ φάγεται·
καὶ τῷ ἐμπλησθέντι τοῦ πλουτῆσαι
οὐκ ἔστιν ἀφίων αὐτὸν τοῦ ὑπνῶσαι.
12 ἔστιν ἀρρωστία, ἣν εἶδον ὑπὸ τὸν ἥλιον,
πλοῦτον φυλασσόμενον τῷ παρ᾽ αὐτοῦ εἰς κακίαν αὐτοῦ,
13 καὶ ἀπολεῖται ὁ πλοῦτος ἐκεῖνος ἐν περισπασμῷ πονηρῷ,
καὶ ἐγέννησεν υἱόν, καὶ οὐκ ἔστιν ἐν χειρὶ αὐτοῦ οὐδέν.
14 καθὼς ἐξῆλθεν ἀπὸ γαστρὸς μητρὸς αὐτοῦ γυμνός,
ἐπιστρέψει τοῦ πορευθῆναι ὡς ἥκει
καὶ οὐδὲν οὐ λήμψεται ἐν μόχθῳ αὐτοῦ,
ἵνα πορευθῇ ἐν χειρὶ αὐτοῦ.
15 καί γε τοῦτο πονηρὰ ἀρρωστία·
ὥσπερ γὰρ παρεγένετο, οὕτως καὶ ἀπελεύσεται,
καὶ τίς περισσεία αὐτῷ, ᾗ μοχθεῖ εἰς ἄνεμον;
16 καί γε πᾶσαι αἱ ἡμέραι αὐτοῦ ἐν σκότει καὶ πένθει
καὶ θυμῷ πολλῷ καὶ ἀρρωστίᾳ καὶ χόλῳ.
17 Ἰδοὺ ὃ εἶδον ἐγὼ ἀγαθόν, ὅ ἐστιν καλόν,
τοῦ φαγεῖν καὶ τοῦ πιεῖν
καὶ τοῦ ἰδεῖν ἀγαθωσύνην
ἐν παντὶ μόχθῳ αὐτοῦ,
ᾧ ἐὰν μοχθῇ ὑπὸ τὸν ἥλιον
ἀριθμὸν ἡμερῶν ζωῆς αὐτοῦ,
ὧν ἔδωκεν αὐτῷ ὁ θεός·
ὅτι αὐτὸ μερὶς αὐτοῦ.
18 καί γε πᾶς ὁ ἄνθρωπος, ᾧ ἔδωκεν αὐτῷ ὁ θεὸς
πλοῦτον καὶ ὑπάρχοντα καὶ ἐξουσίασεν αὐτὸν
τοῦ φαγεῖν ἀπ᾽ αὐτοῦ καὶ τοῦ λαβεῖν τὸ μέρος αὐτοῦ

$8^{2}$ του > S*† || $9^{2}$ αυτου ASc | γενηματα S || $10^{1}$ της pau.] > BSA | εσθ. B†] pr. οι rel. | $10^{2}$ τις Sc | τω παρ αυτης: cf. 1 2 7 12 8 8 12 11 | $10^{3}$ αλλ η ScV] αρχη BS*A | οφθαλμον B*† || $12^{2}$ αυτου ult.] -τω B || $13^{1}$ περισπ.] πιρασμω S: cf. 3 10 | πονηρω] αυτου (sic) A† || $14^{2}$ πορευθ.] + εκει S† | $14^{3}$ ου > A || $15^{3}$ τις > B† | περισσ. V†] pr. η rel. || $16^{1}$ πασαι > S* | πενθει V†] pr. εν rel. || $17^{1}$ ο ειδον / εγω] tr. S*†, ο > BSc | $17^{5}$ μοχθηση SA | $17^{7}$ ων] ην S*† || $18^{1}$ ο $1^{0}$ V†] > rel. | $18^{2}$ αυτων B†, αυτω compl. | $18^{3}$ του $1^{0}$ > B† | του $2^{0}$ compl.] > BSA, sed $18^{4}$ του habent omn.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/252 UNIVERSITÄT LEIPZIG